**διονύσιος**

Choerob. 216. 16 sqq. ὁ δὲ παλιμβάκχειος, ὁ καὶ διονύσιος, ἐκ δύο μακρῶν καὶ βραχείας, πεντάχρονος καὶ ἀντιβάκχειος καλεῖται, ὅτι ἐναντίως διάκειται τῷ ῥυθμῷ πρὸς τὸν βακχεῖον, διονύσιος δὲ καθὸ καὶ αὐτὸς πρὸς τὰ διονυσιακὰ μέλη πεποίηται.

Schol. B in Hephaest. 302. 1 sqq. ὄγδοος ὁ παλιμβάκχειος, τούτῳ ἀντικείμενος, ἐκ δύο μακρῶν καὶ βραχείας, οὕτω κεκλημένος διὰ τὸ ἀντίστροφος εἶναι τῷ βακχείῳ· ὁ καὶ Διονύσιος, καθὰ καὶ αὐτὸς πρὸς τὰ διονυσιακὰ μέλη πεποίηται· ὁ καὶ προσοδιακὸς καὶ πομπευτικὸς διὰ τὸ ἐν προσοδίοις ὕμνοις οὕτω καλουμένοις καὶ ἐν ταῖς διονυσιακαῖς πομπαῖς ἐπιτήδειος εἶναι. [*R.S.*]